ΟΔ. ἴσχε πᾶς τις. ΗΜ. οὐ μὲν οὖν. ΗΜ. ἆ, φίλιον
ἄνδρα μὴ θένῃς.
ΗΜ. καὶ τί δὴ τὸ σῆμα; ΟΔ. Φοῖβος. ΗΜ. ἔμαθον·
ἴσχε πᾶς δόρυ.
ΗΜ. οἶσθ᾽ ὅποι βεβᾶσιν ἄνδρες; ΟΔ. τῇδέ πῃ κατεί-
δομεν.
ἕρπε πᾶς κατ᾽ ἴχνος αὐτῶν. ΧΟ. ἦ βοὴν ἐγερ-
τέον;
ΗΜ. ἀλλὰ συμμάχους ταράσσειν δεινὸν ἐκ νυκτῶν φόβῳ.
ΧΟ. τίς ἀνδρῶν ὁ βάς; str.
τίς ὃ μέγα θράσος ἐπεύξεται,
χέρα φυγὼν ἐμάν;
πόθεν νιν κυρήσω;
τίνι προσεικάσω,
ὅστις δι᾽ ὄρφνης ἦλθ᾽ ἀδειμάντῳ ποδὶ
διά τε τάξεων καὶ φυλάκων ἕδρας;
Θεσσαλὸς ἢ
παραλίαν Λοκρῶν νεμόμενος πόλιν;
ἢ νησιώτην σποράδα κέκτηται βίον;
τίς ἦν ἢ πόθεν ἐστὶν ἢ ποίας πάτρας;
ποῖον εὔχεται τὸν ὕπατον θεῶν;
ΗΜ. ἆρ᾽ ἔστ᾽ Ὀδυσσέως τοὔργον ἢ τίνος τόδε;
εἰ τοῖς πάροιθε χρὴ τεκμαίρεσθαι, τί μήν;
ΗΜ. δοκεῖ γάρ; ΗΜ. τί μὴν οὔ;
ΗΜ. θρασὺς γοῦν ἐς ἡμᾶς.
ΗΜ. τίν᾽ ἀλκήν; τίν᾽ αἰνεῖς; ΗΜ. Ὀδυσσῆ.
ΗΜ. μὴ κλωπὸς αἴνει φωτὸς αἱμύλον δόρυ.
ΧΟ. ἔβα καὶ πάρος antistr.

---

687. τις om. Cc*A* οὐ μὲν οὖν] Reiskius, οὐ μενῶ libri. ἆ] Musgravius, ἆ ἆ libri. φίλιον *AB* φίλον reliqui. 689. ΟΔ. BC*A* ΗΜ. *B* πῆ δέ πη B οὐδέ c (?) τί δέ πη *A* τῇδέ πῃ *BC* 691. ἐν C*A* 693. ὁ μέγας BC ὁ μέγα c*AB* ὃς μέγα *C* (?) 697. ὄρφνας *ABC* 702. τίς ἦν ἢ πόθεν ἐστὶν ἢ ποίας πάτρας BC τίς ἦν πόθεν ἢ τίνος πάτρας c τίς ἢ πόθεν ἐστὶν ἐκ ποίας πάτρας *A* τίς οὖν γὰρ ἢ πόθεν ἐστὶν ἢ ποίας πάτρας *B* (*C*?) 703. ὁποῖον δ᾽ *A* ὁποῖον *BC* 705. τί μήν om. BC 708. τίς ἀλκήν *ABC* 709. αἱμύ-λου Bc